eul_wid: ica-ab

*Μοιρώ ἡ Βυζαντία* · Moero of Byzantium

# Epigrams

*Ἐπιγράμματα*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινή* Koine
**Domain:** *Ἔπος* Epic
**Format:** *Ἔμμετρος* Verse

book 119.1.1 Κεῖσαι δὴ χρυσέαν ὑπὸ παστάδα τὰν Ἀφροδίτας,
book 119.1.2 βότρυ, Διωνύσου πληθόμενος σταγόνι,
book 119.1.3 οὐδ’ ἔτι τοι μάτηρ ἐρατὸν περὶ κλῆμα βαλοῦσα
book 119.1.4 φύσει ὑπὲρ κρατὸς νεκτάρεον πέταλον.
book 189.1.1 Νύμφαι Ἀνιγριάδες, ποταμοῦ κόραι, αἳ τάδε βένθη
book 189.1.2 ἀμβρόσιαι ῥοδέοις στείβετε ποσσὶν ἀεί,
book 189.1.3 χαίρετε καὶ σῴζοιτε Κλεώνυμον, ὃς τάδε καλὰ
book 189 εἵσαθ’ ὑπαὶ πιτύων ὔμμι, θεαί, ξόανα.